ἀρθρ. ςιχ.

οἶμαι, σκοπȣ͂ντα πρόσθεν ἠκριβωμένως
οἵα μέν ἐςὶν αἰτίȣ δρῶντος φύσις,
οἵα δράσις τε, τȣ͂δε τὸ σθένος θ᾽ ὅσον,
οἵῳ φύσις δ᾽ ἔωθεν εὐμενεςάτη
κινήσεών τε κἀντερείσεως σθένει
τῷδ᾽ ἀντιτείνειν πρὸς πεπασμὸν καὶ κρίσιν· ις. 323
330
ἐκ τῶνδ᾽ ὄχλος γὰρ ἐξέφυ ξυμπτωμάτων(ξ), ιθ. 383
δἰ ὧν ἑκάςης ἡ διάγνωσις νόσȣ κε. 522
πρόγνωσις αὐτή τ᾽ ἐμφανεῖς γίγνονθ᾽ ἅλις(ο)·
κἀκ τῶνδ᾽ ἐσαῦθις ἐμφανῶς ἐγνωσμένων
ἐσκεμμένων τ᾽ εὖ λαμβάνοιντ᾽ ἂν εὐςόχως
ἅγ᾽ ἐμποδὼν μὲν τῇδ᾽ ἀμοιβαίᾳ δράσει
γίγνεσθ᾽ ἔφην ἔξωθεν εἰσηνεγμένα, κβ. 453
ἀκεσμ᾽ ἅπαν δὲ ταῦτα φάρμακόν θ᾽ ἅπαν,
ἅσσ᾽ οἷά τ᾽ ἐςι τήνδ᾽ ἀνατρέπειν δράσιν (π)·
καὶ τῶνδ᾽ ἃ πρὶν μὲν δρῶντος ἀμβλύνει σθένος, -- 458
ταῦθ᾽ ἃ προπέσσει τ᾽ εὐτρεπίζει τ᾽ εἰκότως,
ἃ δ᾽ ἐκποδὼν ἔπειτα ποιεῖται τόδε, -- 462
πρὸς δ᾽ ἃ σθενοῖ πως κἀπεγείρει καιρίως, -- 449
ἤ πως καταςέλλει τι πραΰνει θ᾽ ὅσον
ἔκμετρον ὄν πως τἀντερείσεως σθένος, κδ. 512
506
ȣ͂ μὴν δ᾽ ἃ συγχέει τε καὶ βλάπτει τόδε· κς. 569
ἃ χρὴ πρὸ πάντων πάντ᾽ ἰατρὸν εἰδέναι

ἀλ-

---

(ξ) Περὶ τέχν κα. (ο) ἐπιδημ. Α. β. (π) Ἀλέξανδρ. Τραλλ. βιβ. Α. κεφ. ις. Η. α. θ. ε.